πτολις ἤδη βασίλειος
στρατὸς εἰς ἀντίπορον γεί-
τονα χώραν, λινοδέσμῳ
σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα,
ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.

πολυάνδρου δ' Ἀσίας θού- ἀντ. ά
ριος ἄρχων ἐπὶ πᾶσαν
χθόνα ποιμανόριον θεῖ-
ον ἐλαύνει διχόθεν, πε-
ζονόμοις ἔκ τε θαλάσσης,
ἐχυροῖσι πεποιθὼς
στυφελοῖς ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.

κυάνεον δ' ὄμμασι λεύσσων στρ. β
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτης,
Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον Ἄρη.

67. χώραν] τὴν Εὐρώπην. 68. λινοδέσμῳ] ὡς λινῶν τῶν κάλων ὄντων. 71. ὅδισμα] γρ. ἔρεισμα· τὴν ναῦν. 72. ζυγὸν ἀμφιβαλὼν] ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον ταῖς ναυσὶ συνδήσας αὐτὰς καὶ γῆν ἐπιβαλών, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. διὸ πολύγομφον ὅδισμα εἶπεν. ζυγὸν] ζεύξας (διὰ) νεῶν τὴν θάλασσαν. 74. πᾶσαν χθόνα] τὴν Εὐρώπην. ποιμανόριον] ποίμνιον. ποιμανόριον] τὸ ἀνδρικὸν πλῆθος, σημαῖνον τὸ στράτευμα παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον. 79. στυφελοῖς] σκληροῖς ἡγεμόσιν. 80. χρυσονόμου γενεᾶς: νῦν τῆς πλουσίας. τινὲς γὰρ ἀνέγνωσαν χρυσογόνου, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγεννῆσθαι· ὃ καὶ βέλτιον. ἄλλως. τῆς Περσέως γενεᾶς ἀπόγονος· ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου. 84. Σύριον θ' ἅρμα: ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι τὸ πρότερον Ἀσσύριοι ἐκαλοῦντο. 85. δουρικλύτοις] τοῖς Ἀθηναίοις. 86. τοξό-